**REPROCHES DU CHŒUR À ÉGISTHE APRÈS LE MEURTRE D'AGAMEMNON**
**(Eschyle, *Agamemnon*, 1612-1648)**

**ΧΟΡΟΣ**

**Αἴγισθ’, ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.**
**Σὺ δ’ ἄνδρα τόνδε φῂς ἑκὼν κατακτανεῖν,**
**μόνος δ’ἔποικτον τόνδε βουλεῦσαι φόνον ;**
**Οὔ φημ’ἀλύξειν ἐν δίκῃ τὸν σὸν κάρα**
**δημορριφεῖς, σάφ’ ἴσθι, λευσίμους ἀράς.**

**ΑΙΓΙΣΘΟΣ**

**Σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος**
**κώπῃ, κρατοῦντων τῶν ἐπὶ ζυγῷ δορός ;**
**Γνώσῃ γέρων ὢν ὡς διδάσκεσθαι βαρύ**
**τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.**
**Δεσμοὶ δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες**
**δύαι διδάσκειν ἐξοχώταται φρενῶν**
**ἰατρομάντεις. Οὐχ ὁρᾷς ὁρῶν τάδε ;**
**Πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.**

**ΧΟΡΟΣ**

**Γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης μένων**
**οἰκουρός, εὐνὴν ἀνδρὸς αἰσχύνας ἅμα**
**ἀνδρὶ στρατηγῷ τὸνδ’ ἐβούλευσας μόρον ;**

**ΑΙΓΙΣΘΟΣ**

**Καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ·**
**Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.**
**Ὁ μὲν γὰρ ἦγε πάντ’ ἀπὸ φθογγῆς χαρᾷ,**
**σὺ δ’ ἐξορίνας νηπίοις ὑλάγμασιν**
**ἄξῃ· κρατηθεὶς δ’ἡμερώτερος φανῇ.**

**ΧΟΡΟΣ**

**Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,**
**ὃς οὐκ, ἐπειδὴ τῷδ’ ἐβούλευσας μόρον,**
**δρᾶσαι τόδ’ ἔργον οὐκ ἔτλης αὐτοκτόνως.**

**ΑΙΓΙΣΘΟΣ**

**Τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς,**
**ἐγὼ δ’ ὕποπτος ἐχθρὸς ἢ παλαιγενής.**
**Ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι**
**ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα**
**ζεύξω βαρείαις, οὔτι μὴ σειραφόρον**
**κριθῶντα πῶλον, ἀλλ’ ὁ δυσφιλὴς σκότῳ**
**λιμὸς ξύνοικος μαλθακὸν σφ’ ἐπόψεται.**

**ΧΟΡΟΣ**

**Τί δὴ τὸν ἄνδρα τόνδ’ ἀπὸ ψυχῆς κακῆς**
**οὐκ αὐτὸς ἠνάριζες, ἀλλά νιν γυνὴ,**
**χώρας μίασμα καὶ θεῶν ἐγχωρίων,**
**ἔκτεινε ; Ὀρέστης ἆρά που βλέπει φάος,**
**ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ**
**ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς ;**